# Week 15 PGM I 42-195, IV 26-51, IV 154-285, XII 270-350, [XIII 1-343;] Thessalos of Tralles, *On the Virtues of Plants*

## I 42-195

*[Πνού]θεως ἱερογραμματέως πάρεδρος·*

*.. ‘Πνούθιος Κήρυκι σ̣ε̣[βαζομένῳ τ]ὸν θεὸν χαίρειν. εἰδὼς προσέταξά σοι [τό]νδε [τὸν πάρεδρον] πρὸς τὸ μὴ διαπίπτειν ἐπιτελ[οῦν]τα [τή]νδε [τὴν πρᾶξ]ιν. παρελόμενος τὰ πάντα καταλει[πόμενα ἡμῖν ἐν] βίβλοις μυρίαις συντάγματα, [ἓ]ν πάν[των] ληα........ <ὑπηρετ>οῦντά σοι τόνδε τὸν πάρεδρον ἐπέδει[ξ]α ασο[... πάρεδρον] ἅγιον τόνδε λαμβάνειν ὑμᾶς καὶ μόνον αι............τος, ὦ φίλε ἀερίων πνευμάτων χωρουμ[ένων] ... με λόγοις θεολογουμένοις πείσαντες εσομ[......... νῦ]ν δὲ ἀπέπεμψα τήνδε τὴν βίβλον, ἵν’ ἐκμάθῃς. [ἔχει γὰρ δύναμι]ν Πνούθεως λόγος πείθειν θεοὺς καὶ πάσας τὰ[ς θεάς. συγγράψω] δέ σοι ἐντεῦθεν περὶ τῆς παρέδρου λ[ήψεως. ἔστι δὲ ἡ τοῦ παρ]έδρου παράδοσις· προαγνεύσας καὶ [ἀπεχόμενος ἐμψύ]χου καὶ πάσης ἀκαθαρσίας καὶ ἐν οἵᾳ βούλει [νυκτὶ ἀνα]βὰς ἐπὶ δώματος ὑψηλοῦ, ἐνδεδυμένος καθαρῶς [....... λέγ]ε τὴν πρώτην σύστασιν ἀπογιν(ομένης) τῆς ἡλίου ἐλείας ........ [.... ἔ]χων τελαμῶνα [ὁλο]μέλανα Ἰσιακὸν ἐπὶ το[ῖς ὀφθαλμοῖ]ς καὶ τῇ μὲν δεξιᾷ χειρὶ κάτεχε ἱέρακος κεφα[λὴν καὶ .... ἀ]νατέλλοντος τοῦ ἡλίου χαιρέτιζε κατασείων τὴν κεφ[αλὴν καὶ ... δι]ώ̣κων τόνδε τὸν ἱερὸν λόγον, ἐπιθύων λίβανον ἄ[τμητον] καὶ ῥόδινον ἐπισπένδων, ἐπιθύσασ[ ἐπὶ γηΐ]νου θυμιατηρίου ἐπ’ ἀνθράκων ἀπὸ ἡλιοτροπίου β[οτάνης. ἔ]σται δέ σοι διώκοντι τὸν λόγον σημεῖον τόδε· ἱέραξ κατ[απτὰς σοῦ] ἄντικρυς σταθήσεται καὶ πτερὰ τινάξας ἐν μέσ[ῳ, καθεὶς] εὐμήκη λίθον, εὐθὺς ἀναπτήσεται εἰς οὐρανὸν β[αίνων. σὺ] δὲ βάσταξον τοῦτον τὸν λίθον καὶ λιθουργήσας τάχος [γλῦφε ὕστ]ερον· γλυφέντα δὲ διατρυ[π]ήσας καὶ διείρας σπάρτῳ περὶ τ[ὸν τρά]χηλόν σου εἴρησον. ὀψίας δὲ ἀνελθὼν εἰς τὸ δωμάτιόν σ[ου πάλι]ν καὶ στὰς πρὸς αὐγὴν τῆς θεοῦ ἄντικρυς λέγε τὸν ὑμ[νικὸν λόγον] τόνδε ἐπιθύων πάλιν τρωγλῖτιν ζμύρναν τῷ αὐτῷ σχήμ[ατι. πῦρ] δὲ ἀνάψας ἔχε μυρσίνης κλάδον [.ι.....]ο̣ν σείῳ[ν καὶ χαιρ]έτιζε τὴν θεόν. ἔσται δέ σοι σημεῖον ἐν τάχει τοιοῦ[το· ἀστὴρ αἴθω]ν κατελθὼν στήσεται εἰς μέσον τοῦ δώματος καὶ κατ’ ὄμ[μα κατα]χυ[θ]ὲν τὸ ἄστρον, ἀθρήσεις, ὃν ἐκάλεσας ἄγγελον πεμφθ[έντα σ]οί, θεῶν δὲ βουλὰς συντόμως γνώσῃ. σὺ δὲ μὴ δειλοῦ· [πρόσ]ιθι τῷ θεῷ, καὶ χεῖρα αὐτοῦ δεξιὰν λαβὼν κατα[φί]λησον, καὶ λέγε ταῦτα πρὸς τὸν ἄγγελον· λαλήσει γάρ σοι συν[τόμ]ως, πρὸς ὃ ἐὰν βούλῃ. σὺ δὲ αὐτὸν ἐξόρκιζε τῷδε [τῷ ὅρκ]ῳ, ὅπως ἀκίνητός σου τυγχάνων μείνῃ καὶ μὴ προσι[γήσῃ μη]δὲ παρακούσῃ ὅλως. ἐπὰν δέ σοι τοῦτον <τὸν> ὅρκον ἀ[ποδ]ῷ ἀσφαλῶς, χειροκρατήσας τὸν θεὸν καταπήδα, κ̣[αὶ εἰ]ς στενὸν τόπον ἐνεγκών, ὅπου κατοικεῖς, καθ[ίστη. π]ρῶτον δὲ τὸν οἶκον στρώσας, καθὼς πρέπει, καὶ ἑτοι[μάσας] παντοῖα φαγήματα οἶνόν τε Μενδήσιον, προανά[φερε εἰ]ς τὸν θεόν, ὑπηρετοῦντος παιδὸς ἀφθόρου καὶ σιγὴ[ν ἔ]χοντος, ἄχρις ἂν ἀπίῃ ὁ̣ [ἄγγ]ελος.*

*σὺ δὲ λόγο(υ)ς πρόπεμ[πε] τῷ θεῷ· ‘ἔξω φίλον σε πάρεδρον, εὐεργέτην θεὸν [ὑπ]ηρετοῦντά μοι, ὡς ἂν εἴπω, τάχος, τῇ σῇ δυνάμει ἤδη ἔ[γγ]αιος, ναὶ ναί, φαινέ μοι, θεέ’. καὶ αὐτὸς σὺ λάλησον, ἀνακ[εί]μενος, πρὸς ἃ φράζει, συντόμως.*

*πειρῶ δὲ θεοῦ τὸν ὁρκισμὸν αὐτόν, πρὸς <ὃ> θέλεις. ἐπὰν δὲ ὧραι γʹ γένωνται, καὶ εὐθὺς ἀναπηδήσει ὁ θεός. κέλευε δὲ τῷ [π]αιδὶ <κατὰ> τὰς θύρας τρέχειν. λέγε δέ· ‘χώρει, κύριε, θεὲ μάκαρ, ὅπου διηνεκῶς σὺ εἶς, ὡς βούλει’, καὶ ἀφανής ἐστιν ὁ θεός.*

*Αὕτη ἡ ἱερὰ λῆψις τοῦ παρέδρου. γινώσκεται, ὅτι οὗτός ἐστιν ὁ θεός· πνεῦμά ἐστιν ἀέριον, ὃ εἶδες. ἐὰν ἐπιτάξῃς, παραυτὰ τὸ ἔργον ἐπιτελεῖ· ὀνειροπομπεῖ, ἄγει γυναῖκας, ἄνδρας δίχα οὐσίας, ἀναιρεῖ, καταστ[ρ]έφει, ἀναρίπτει ἀνέμους ἐκ γῆς, βαστάζει χρυσόν, ἄργυρον, χαλκόν, καὶ δίδωσί σοι, ὅταν χρεία γένηται, λύει δὲ ἐκ δεσμῶν [ἁ]λύσεσι φρουρούμενον, θύρας ἀνοίγει, ἀμαυροῖ, ἵνα μηδεὶς [κ]αθόλου σε θεωρήσῃ, πυρφορεῖ, ὕδωρ φέρει, οἶνον, ἄρτον καὶ [ὃ] ἂν ἐθέλῃς ἐκ τῶν ἐδεσμάτων, ἔλαιον, ὄξος, χωρὶς ἰχθύων μ[ό]νων, λαχάνων δὲ πλῆθος, ὃ θέλεις, ἄξει, κρέας δὲ χοίρειον—[τ]οῦτο ὅλως μὴ λέξῃς ποτὲ ἐνεγκεῖν. καὶ ὅτε βούλει δεῖ[πν]ον ποιῆσαι, λέγε· πᾶν χώρημα εὐπρεπὲς θεωρήσας [κέ]λευε τούτῳ στρῶσαι ταχέως καὶ συντόμως· εὐθὺς [περι]θήσει χρυσόροφα δώματα, τοίχους τούτοις μαρμαρωθέ[ν]ṭας ὄψῃ—καὶ ταῦτα ἡγεῖ τὰ μὲν ἀληθῆ, τὰ δὲ βλέπεσθαι μόνο[ν]—οἶνον δὲ πολυτελῆ, καθὼς πρέπει ἐξαρτίσαι τὸ δεῖπνον λ[αμ]πρῶς, συντόμως δαίμονας οἴσει καὶ τοὺς ὑπηρετοῦν[τ]άς σοι ζωστοὺς κοσμήσει. ταῦτα [σ]υντόμως ποιεῖ. κα[ὶ ὁπόταν αὐτὸν] κελεύσῃς διακον[ῆσαι], ποιήσει, καὶ ὄψῃ προ[τερή]σαντα ἄλλοις· ἵστησι πλοῖα καὶ πά[λιν] ἀπολύει, ἵστησι πονη[ρὰ δαιμόν]ịạ πλεῖστα, θῆρας δὲ παύει καὶ ὀδόντας ῥήξει ἑρπετ[ῶν ἀν]ημέρων συντόμως, κύνας δὲ κοιμίζει καὶ ἀφώνο[υς ἵσ]τησι, μεταμορφοῖ δ̣ὲ εἰς ἣν ἐὰν βούλῃ μορφὴν θη[ρίου] πετηνοῦ, ἐνύδρου, τετραπόδου, ἑρπετοῦ. βαστάξει σ[ε εἰς] ἀέρα καὶ πάλιν ῥίψει σε εἰς κλύδωνα ποντίων ποταμ[ῶν καὶ] εἰς ῥ<ύ>ακας θαλασσίων, πήξει δὲ ποταμοὺς καὶ θάλασσα[ν συντ]όμως καί, ὅπως ἐνδιατρέχῃς σταδίως, ὡς βούλει. μά[λιστα] δὲ καθέξει σοῦ θελήσαντός ποτε τὸν ἀφρὸν ἁλί[δρομ]ον, καὶ ὅταν θέλῃς ἄστρα κατενεγκεῖν, ὁπόταν τε θέλῃς [τὰ θερ]μὰ ψυχρὰ ποιῆσαι καὶ τὰ ψυχρὰ θερμά, λύχνους ἀνά[ψει κ]αὶ κατασβέσει πάλιν, τείχη δὲ σείσει καὶ πυρίφλογα [ποιή]σει, δουλεύσει σοι ἱκανῶς εἰς [ἃ] ἂν ἐπινοήσῃς, ὦ μα[κάρι]ε μύστα τῆς ἱερᾶς μαγείας, καὶ ἐπιτελέσει σοι ὁ κράτιστος πάρεδρος οὗτος, ὁ καὶ μόνος κύριος τοῦ ἀέρος, καὶ συνφων[ή]σουσι πάντα οἱ θεοί· δίχα γὰρ τούτου οὐδέν ἐστιν. μηδενὶ [ἄλλῳ με]ταδῷς, ἀλλὰ κρύβε, πρὸς Ἡλίου, ἀξιωθεὶς ὑπὸ τοῦ κυρί[ου θεοῦ], τὸ μέγα τοῦτο μυστήριον. ἔστιν δὲ ὁ λόγος ὁ λεγόμενος ἑ[πτάκις ἑπ]τὰ πρὸς ἥλιον ἐξορκισμὸς τοῦ παρέδρου· ‘ωρι πι... [Ἀ]μοῦν τε αινθυφ πιχαρουρραιαλ καρφιουθ υμου ρ̣ο̣θιρβαν οχαναυ μουν̣α̣ιχαναπταζω· ζων ταζωταζω· πταζω μανϊας σουωρι σουω ωους σαραπτουμι σαραχθι α. ριχαμχω βιραθαυ ωφαυ φαυω δαυα· αυαντω ζουζω· αρρουζω ζωτουαρ θωμναωρι αυωι πταυχαρηβι αωυοσωβιαυ πταβαϊν ααααααα αεηιουωυωοιηεα χαχαχ χαχαχ χαρχαραχαχ Ἀμοῦν ω· ηϊ ϊαεωβαφρενεμουνοθιλαρικριφιαευεαϊφιρκιραλιθονυομενερφαβω[ε]αϊ χαθαχ φνεσχηρ φιχρο φνυρω φωχωχοχ ϊαρβαθα γραμμη φιβαωχνημεω.’ οὗτός ἐστιν ὁ λόγος ὁ λεγόμενος πρὸς ἥλιον ἑπτάκις ἑπτά. ἔστιν δὲ ὁ γλυφόμενος εἰς τὸν λίθον Ἡλίωρος ἀνδρ[ιὰς] λεοντοπρόσωπος, τῇ μὲν ἀριστερᾷ χειρὶ κρατῶν πόλον καὶ μάστιγα, κύκλῳ δὲ αὐτοῦ δράκοντα*

οὐροβόρον, ὑπὸ δὲ τὸ ἔδαφος τοῦ λίθου τὸ ὄνομα τοῦτο (κρύβε)· ‘αχα αχαχα χαχ χαρχαρα χαχ.’ καὶ διειρήσας σπάρτῳ Ἀνουβιακῷ φόρει περὶ τὸν τράχηλον. λόγος Σελήνῃ· ‘ϊνουθω πτουαυμι· ανχαριχ· χαραπτουμι· ανοχα αβιθρου αχαραβαυβαυ βαραθιαν ατεβ δουανανου απτυρ πανορ παυραχ· σουμι φορβα· φ[ρ̣]ριφορβαραβαυ· βωηθ· αζα· φορ· ριμ μιρφαρ· ζαυρα· πταυζου· χωθαρπαραχθιζου· ζαιθ· ατιαυ ϊαβαυ καταντουμι βαθαρα χθιβι ανοχ.’ ταῦτα εἰπὼν ὄψει τινὰ ἀστέρα ἐκ τοῦ <οὐρανοῦ> κατ’ ὀλίγον ἀναλυόμενον καὶ θεοποι[ο]ύμ[ε]νον. σὺ δὲ προσιὼν καὶ δεξάμενος τῆς χειρὸς καταφ[ιλ]ῶν λέγε τὸν αὐτὸν λόγον· ‘ωπταυμι ναφθαυβι μαιουθ[μ]ου μητροβαλ· ραχηπτουμι αμμωχαρι αυθει· α. ταμαρα· χιωβιταμ· τριβωμις· αραχο ισαρι ραχι· Ἰα[κο]υβι ταυραβερωμι ανταβι ταυβι.’ ταῦ[τά] σοι εἰπόντι [ἀπ]ο̣κριθήσεται, σὺ δὲ αὐτῷ λέγε· ‘τί ἐστιν τὸ ἔνθεόν σου ὄν[ομ]α; μήνυσόν μοι ἀφθόνως, ἵνα ἐπικαλέσωμαι α[ὐτό’. ἔσ]τιν δὲ γραμμάτων ιε′· σουεσολυρ φθη μωθ. ἔστιν δὲ καὶ τὰ ἑξῆς λεγόμενα· ‘δεῦρό μοι, βασιλεῦ, <καλῶ σε> θεὸν θεῶν, ἰσχυρὸν, ἀπέραντον, ἀμίαντον, ἀδιήγητον, Αἰῶνα κατεστηριγ[μ]ένον· ἀκίνητός μου γίνου ἀπὸ τῆς σήμερον ἡμέρας ἐπὶ τὸν ἅπαντα χρόνον τῆς ζωῆς μου’. ἔπειτα ἐρώτα αὐτὸν κατὰ τῶν αὐτῶν ὅρκων. ἐὰν τὸ ὄνομά σοι εἴπῃ, σὺ δὲ τῆς χειρὸς αὐτοῦ λαβὼν κάτελθε καὶ κατάκλινον αὐτόν, ὡς προεῖπον, παρατιθῶν αὐτῷ, ἐξ ὧν μεταλαμβάνεις βρωτῶν καὶ ποτῶν. ἐπὰν δὲ ἀπολύσῃς αὐτὸν, μετὰ τὸ ἀποστῆναι ἐπίθυε αὐτῷ τὰ προκείμενα καὶ σπένδε οἶνον, καὶ οὕτως τῷ κραταιῷ ἀγγέλῳ φίλος ἔσει· ἀποδημοῦντί σοι συναποδημήσει, πενομένῳ χρήματα δώσει, ἐρεῖ σοι τὰ μέλλοντα γενέσθαι καὶ πότε καὶ ποίῳ χρόνῳ, νυκτὸς ἢ ἡμέρας. ἐὰν δέ τί<ς> σε ἐρωτήσῃ· ‘τί κατὰ ψυχὴν ἔχω’; ἤ· ‘τί μοι ἐγένετο ἤγε μέλ[λ- ] ει γενέσθαι;’ ἐπερώτα τὸν ἄγγελον, καὶ ἐρεῖ σοι σιωπῇ· σὺ δὲ ὡς ἀπὸ σεαυτοῦ λέγε τῷ ἐπερωτῶντί σε. τελευτήσαντός σου τὸ σῶμα [περισ]τελεῖ, ὡς πρέπον θεῷ, σοῦ δὲ τὸ πνεῦμα βαστάξας εἰς ἀέρ[α ἄ]ξει σὺν αὑτῷ. εἰς γὰρ Ἅιδην οὐ χ[ω]ρήσει ἀέριον πνεῦμα συσταθὲν κραταιῷ παρέδρῳ· τούτῳ γὰρ πάντα ὑπόκειτ[αι]. ὅταν δὲ θέλῃς τι πρᾶξαι, εἰς ἀέρα λέγε τὸ ὄνομα μόνον κα[ὶ· ‘ἐλθέ’, κ]αὶ ὄψῃ αὐτόν, καὶ ἐγγύς σου ἑστῶτα, καὶ λέγε αὐτῷ· ‘ποίη[σον] τοῦτο τὸ ἔργον,’ καὶ ποιεῖ παραυτὰ καὶ ποιήσας ἐρεῖ σοι· ‘τί ἄλλο βούλει; σπεύδω γὰρ εἰς οὐρανόν.’ ἐὰν δὲ μὴ ἔχῃς παραυτὰ ἐπιτάξαι, λέγε αὐτῷ· ‘πορεύου, κύριε’, καὶ ἀπελεύσεται. οὕτως οὖν ὁ θεὸς ὑπὸ σοῦ μόνου θεωρηθήσεται, οὐδὲ φωνήν ποτε αὐτοῦ οὐδεὶς ἀκούσει λαλοῦντος, εἰ μὴ σὺ αὐτὸς μόν[ο]ς. ἐρεῖ δέ σοι περὶ κατακλίσεως ἀνθρώπου, εἰ ζήσεται ἢ τελ[ευτήσ]ει, καὶ ποίᾳ ἡμέρᾳ καὶ ποίᾳ ὥρᾳ νυκτός. δώσει δέ [σοι καὶ] ἀγρίας βοτάνας καὶ πῶς θερ[α]πεύσεις, καὶ ὡς θεὸς προ̣[σκ]υ̣νηθήσει ἔχων τὸν θεὸν φί[λο]ν. ταῦτα εὖ ἀνύσει ὁ κραται[ὸς] πάρεδρος. ταῦτα οὖν μηδενὶ παραδίδου, εἰ μὴ μόνῳ [σο]υ ἰσχινῷ υἱῷ σου ἀξιοῦντι τὰ [παρ’] ἡμῶν ῥηθέντα ἐνεργ[ή]ματα. διευτύχει.’ τὸ δὲ λεγόμενον πρὸς ἥλιον οὐδὲν ζητεῖ εἰ μ[ὴ] ϊαεωβαφρενεμουν (λόγος) καὶ ια[ρ]βαθα (λόγος).

## IV 26-51

*[Τ]ελετή· προαγνεύσας ζʹ ἡμέρας ἐλθὼν τῇ τρίτῃ [τ]ῆς σελήνης εἰς τόπον ἀπογυμνωθέντ[α ν̣ε̣]ωστὶ ἀπὸ τοῦ Νείλου, πρὶν ἐπιβῇ τις αὐτοῦ τὸ περίρυτον (ἢ ἄλλως· κατακλυσθέντα ἀπὸ τοῦ Νείλο[υ]), ποίησον ἐπὶ δύο πλίνθων ἐπὶ κροτάφων ἑστηκυϊῶν ἐκ ξύλων ἐλαΐνων, τουτέστιν κλημα[τίδ]ο̣ς, πυρὰν ἀνίσχοντος κατὰ τὸ ἥμισυ τοῦ ἡλίου, πρ[ό]τερον πρὶν ἀνατείλῃ ὁ ἥλιος, περιγυρεύσας τὸν βωμόν, πλήρους δὲ ἀνελθόντος τοῦ ἡλιοδίσκου ἀποτεμὼν τὴν κεφαλὴν ἀλεκτρυόνο[ς] τελείου ὁλολεύκου, ὃν ἐν τῇ ἀριστερᾷ ἀγκάλῃ <ἔχεις>, περιγυρεύεις, πρότερον πρὶν ἥλιος ἀνατ̣[είλῃ, τὸν] βωμόν. ἀποτέμνεις δὲ τὸν ἀλεκτρυόνα [τοῖς γό]νασι συλλαβὼν μηδενὸς ἄλλου αὐτὸν κατ̣έχοντος· τὴν μὲν κεφαλὴν εἰς τὸν ποταμὸν ῥῖψον, τὸ δὲ αἷμα ἀποδεξάμενος τῇ δεξιᾷ χειρὶ ἔ[κ]πιε, τὸ λοιπὸν σῶμα τῷ ἡμμένῳ βωμῷ ἐπιθ[ε]ίς, καὶ ἐνάλλου τῷ ποταμῷ· μεθ' ἧς ἔχεις ἐσθῆτος βαπτισάμενος ἀναποδίζων ἄνελθε καὶ μεθα[μ]φιεσάμενος καινὰ ἄπιθι ἀνεπιστρεπτί. λαβ[ὼν] δὲ μετὰ ταῦτα νυκτικόρακος χολήν, ἀπ' αὐτῆ[ς] ἐγχρίου πτερῷ ἴβεως τοὺς ὀφθαλμούς [σου], καὶ ἔσει τετελεσμένος. ἐὰν δὲ ἀπορῇς τοῦ [νυκτι]κ[ό]ρακος, χρῶ ᾠῷ ἴβεως, πτερῷ δὲ ἱέρακος· τρήσας τὸ ᾠὸν καὶ ἐνεὶ[ς] τὸ πτερὸν κατάρ<ρ>ηξον οὕτω ἐγχρισάμενος.*

## IV 154-285

*Νεφώτης Ψαμμητίχῳ, βασιλεῖ Αἰγύπτου αἰωνοβίῳ, χαίρειν· ἐπεί σε ὁ μέγας θεὸς ἀπεκατέστησεν βασιλέα αἰωνόβιον, ἡ δὲ φύσις κατέστησεν ἄριστον σοφιστήν, καὶ ἐγώ σοι βουλόμενος ἐπιδείξασθαι τὴν ἐν ἐμοὶ φιλοπονίαν ἀπέστειλά σοι τήνδε τὴν πρᾶξιν ἐν πάσῃ εὐκοπίᾳ ἱερὰν ἐπιτελουμένην ἐνέργειαν, ἣν καὶ <σὺ> δοκιμάσας θαυμάσεις τὸ παράδοξον τῆς οἰκονομίας ταύτης· σκέψῃ διὰ λεκάνης αὐτόπτου ἐν ᾗ βούλει ἡμέρᾳ ἢ νυκτί, ἐν ᾧ βούλει τόπῳ, θεωρῶν τὸν θεὸν ἐν τῷ ὕδατι καὶ φωνὴν λαμβάνων ἐν στίχοις παρὰ τοῦ θεοῦ, οἷς βούλει· οἴσεις καὶ τὸν κοσμοκράτορα καὶ εἴ τι ἂν προσθῇς, ἐρεῖ δὲ καὶ περὶ ἄλλων, ὧν ἐπερωτήσεις. ἐπιτεύξει χρησάμενος οὕτως, πρῶτα μὲν συσταθεὶς πρὸς τὸν Ἥλιον τρόπῳ τούτῳ· οἵᾳ βούλει ἀνατολῇ τριταίας οὔσης τῆς σελήνης ἐπὶ δώματος ὑψηλοτάτου ἀνελθὼν στρῶσον ἐπὶ τῆς γῆς σινδόνιον καθαρόν. ποίει σὺν μυσταγωγῷ. σὺ δὲ αὐτὸς στεψάμενος κισσῷ μέλανι μεσουρανέοντος τοῦ ἡλίου ὥρᾳ πέμπτῃ κατακλίθητι ἄνω βλέπων ἐπὶ τὴν σινδόνα γυμνὸς καὶ κέλευέ σου περικαλύπτεσθαι τοὺς ὀφθαλμοὺς τελαμῶνι μέλανι καὶ περιστείλας σεαυτὸν νεκρικῷ τρόπῳ καμμύων τοὺς ὀφθαλμούς, τὸ νεῦμα ἔχων πρὸς τῷ ἡλίῳ κατάρχου λόγων τῶνδε. λόγος· ʻΚραταιὲ Τυφῶν, τῆς ἄνω*

*σκηπτουχίας σκηπτοῦχε καὶ δυνάστα, θεὲ θεῶν, ἄναξ αβεραμενθωου (λόγος), γνοφεντινάκτα, βρονταγωγέ, λαιλαπετέ, νυκταστράπτα, ψυχ<ρ>οθερμοφύσησε, πετρεντινάκτα, τειχοσεισμοποιέ, κοχλαζοκύμων, βυθοταραξοκίνησε, Ἰωερβήτ αυ ταυϊ μηνι· ἐγώ εἰμι ὁ σύν σοι τὴν ὅλην οἰκουμένην ἀνασκαλεύσας καὶ ἐξευρὼν τὸν μέγαν Ὄσιριν, ὅν σοι δέσμιον προσήνεγκα. ἐγώ εἰμι ὁ σύν σοι συμμαχήσας τοῖς θεοῖς (οἱ δέ· πρὸς τοὺς θεούς)· ἐγώ εἰμι ὁ κλείσας οὐρανοῦ δισσὰς πτύχας καὶ κοιμίσας δράκοντα τὸν ἀθεώρητον, στήσας θάλασσαν, ῥεῖθρα, ποταμῶν νάματα, ἄχρις οὗ κυριεύσῃς τῆσδε τῆς σκηπτουχίας. ὁ σὸς στρατιώτης ὑπὸ θεῶν νενίκημαι, πρηνὴς ῥέριμμαι μηνίδος εἵνεκεν κενῆς. ἔγειρον, ἱκετῶ, τὸν σόν, ἱκνοῦμαι, φίλον καὶ μ[ή] με ῥίψῃς χθονοριφῆ, ἄναξ θεῶν αεμιναεβαρωθερρεθωραβεανιμεα. δυνάμωσον, ἱκετῶ, δός τε μοι ταύτην τὴν χάριν, ἵν', ὅταν τινὰ αὐτῶν τῶν θεῶν φράσω μολεῖν, ἐμαῖς ἀοιδαῖς θᾶ̣ττον ὀφθῇ μοι μολών. ναϊνε βασαναπτατου εαπτου μηνωφαεσμη παπτου μηνωφ· αεσιμη· τραυαπτι· πευχρη· τραυαρα· πτουμηφ· μουραι· ανχουχαφαπτα· μουρσα· αραμει· Ἰάω· αθθαραυϊ μηνοκερ· βορο πτουμηθ· ατ ταυϊ μηνι χαρχαρα· πτουμαυ· λαλαψα· τραυϊ τραυεψε μαμω φορτουχα· αεηιο ϊου οηωα· εαϊ αεηι ωι ιαω αηι αι ιαω.' ταῦτά σου εἰπόντος τρὶς σημεῖον ἔσται τῆς συστάσεως τόδε, σὺ δὲ μαγικὴν ψυχὴν ἔχων ὁπλισθεὶς μὴ θαμβηθῇς· ἱέραξ γὰρ πελάγιος καταπτὰς τύπτει σε ταῖς πτέρυξιν εἰς τὸ πλάσμα σου ταῦτα αὐτὰ δηλῶν ἐξαναστῆναί σε. σὺ δὲ ἀναστὰς ἀμφιέσθητι λευκοῖς εἵμασιν καὶ ἐπίθυε ἐπὶ θυμιατηρίου γεΐνου ἄτμητον λίβανον σταγονιαῖον λέγων τάδε· 'συνεστάθην σου τῇ ἱερᾷ μορφῇ, ἐδυναμώθην τῷ ἱερῷ σου ὀνόματι, ἐπέτυχόν σου τῆς ἀπορροίας τῶν ἀγαθῶν, κύριε, θεὲ θεῶν, ἄναξ, δαῖμον αθθουϊν θουθουϊ ταυαντι· λαω απτατω.' ταῦτα ποιήσας κάτελθε ἰσοθέου φύσεως κυριεύσας τῆς διὰ ταύτης τῆς συστάσεως ἐπιτελουμένης αὐθοπτικῆς λεκανομαντείας ἅμα καὶ νεκυοαγωγῆς. σκέψις· ἐπειδάν ποτε βούλει σκέψασθαι περὶ πραγμάτων, λαβὼν ἄγγος χαλκοῦν, ἢ λεκάνην ἢ φιάλην, οἵαν ἐὰν βούλῃ, βάλε ὕδωρ—ἐὰν μὲν τοὺς ἐπουρανίους θεοὺς κλήζῃ, ζήνιον, ἐὰν δὲ τοὺς ἐπιγείους, θαλάσσιον, ἐὰν δὲ Ὄσιριν ἢ τὸν Σάραπιν, ποτάμιον, ἐὰν δὲ νέκυας, πηγαῖον—κατέχων ἐπὶ τοῖς γόνασι σκεῦος, ἐπιβαλὼν ἔλαιον ὀμφάκινον καὶ σὺ αὐτὸς ἐπικύπτων ἐν τῷ σκεύει λέγε τὸν λόγον τὸν ὑποκείμενον καὶ προσκαλοῦ, ὃν βούλει θεόν, καὶ ἐπερώτα, περὶ οὗ θέλεις, καὶ ἀποκριθήσεταί σοι καὶ ἐρεῖ σοι περὶ πάντων. ἐὰν δὲ εἴπῃ, ἀπόλυε αὐτὸν τῇ ἀπολύσει, ὃς τῷ̣δε αὐτῷ̣ λόγῳ χρώμενος θαυμάσεις. λόγος λεγόμενος ἐπὶ τοῦ σκεύους· 'Ἀμοῦν αυανταυ λαϊμουταυ ριπτου μανταυι ιμαντου λαντου*

*λαπτουμι· ανχωμαχ· αραπτουμι· δεῦρό* <*μοι*>, *ὅ τις θεός, ὄφθητί μοι ἐν τῇ ἄρτι ὥρᾳ καὶ μή μου θαμβήσῃς τοὺς ὀφθαλμούς. δεῦρό μοι, ὅ τις θεός, ἐπήκοός μοι γενοῦ, ὅτι τοῦτο θέλει καὶ ἐπιτάσσει αχχωρ αχχωρ· αχαχαχ πτουμι χαχχω χαραχωχ· χαπτουμη· χωραχαραχωχ· απτουμι· μηχωχαπτου· χαραχπτου· χαχχω χαραχω· πτεναχωχευ᾽* (*γράμματα ἑκατόν*).

*οὐκ ἀγνοεῖς δέ, βασιλεῦ μέγιστε καὶ μάγων καθη*<*γε*>*μών, ὅτι τοῦτό ἐστιν τὸ πρωτεῦον ὄνομα τοῦ Τυφῶνος, ὃν τρέμει γῆ, βυθός, Ἅιδης, οὐρανός, ἥλιος, σελήνη, χορὸς ἄστρων ἐπιφανής, σύμπας κόσμος, ὅπερ ὄνομα* [*ῥη*]*θὲν θεοὺς καὶ δαίμονας ἐπ᾽ αὐτὸ βίᾳ φέρει. ἔστιν* [*δ*]*ὲ γραμμάτων ρʹ τοῦτο τὸ ὄνομα. ἐν ὑστέρῳ σοῦ φωνήσαν*[*τ*]*ος φανήσεται, ὃν φωνεῖς, θεὸς ἢ νέκυς, καὶ ἀποκριθήσεται περὶ ὧν ἐπερωτᾷς πάντων. ἐπὰν δὲ ἐκμάθῃς, ἀπόλυε τὸν θεὸν μόνον τῷ ἰσχυρῷ ὀνόματι τῷ τῶν ἑκατὸν γραμμάτων λέγων· ‘ἄπιθι, δέσποτα. τοῦτο γὰρ θέλει καὶ ἐπιτάσσει σοὶ ὁ μέγας θεός, τις.’ λέγε τὸ ὄνομα, καὶ ἀπελεύσεται. αὕτη ἡ πραγματεία, βασιλεῦ μέγιστε, εἰς σὲ μόνον χωρησάτω, φυλασσομένη ἀπό σου ἀμετάδοτος. ἔστιν δὲ αὐτὸ τὸ φυλακτήριον, ὃ φορεῖς καὶ ἱστανόμενος πράσσων· εἰς λεπίδα ἀργυρᾶν αὐτὸ τὸ ὄνομα γραμμάτων ρʹ ἐπίγραψον χαλκῷ γραφείῳ καὶ φόρει εἴρας ἱμάντι ὄνου. σύστασις τῆς πράξεως· πρὸς ἀνατολὴν τοῦ ἡλίου λέγε· ‘σὲ καλῶ, τὸν πρῶτα θεῶν ὅπλον διέποντα, σὲ τὸν ἐπ᾽ οὐρανίων σκῆπτρον βασίλειον ἔχοντα, σὲ τὸν ἄνω μέσον τῶν ἄστρων Τυφῶνα δυνάστην, σὲ τὸν ἐπὶ τῷ στερεώματι δεινὸν ἄνακτα, σὲ τὸν φοβερὸν καὶ τρομερὸν καὶ φρικτὸν ἐόντα, σὲ τὸν δῆλον, ἀμήχανον, μισοπόνηρον, σὲ καλέω, Τυφῶν᾽, ὥραις ἀνόμοις, ἀμετρήτοις, σὲ τὸν ἐπ᾽ ἀσβέστῳ βεβηκότα πυρὶ λιγείῳ, σὲ τὸν ἄνω χιόνων, κάτω δὲ πάγους σκοτεινοῦ, σὲ τὸν ἐπ᾽ εὐκταίων Μοιρῶν βασίλειον ἔχοντα κλῄζω, παντοκράτωρ, ἵνα μοι ποιήσῃς, ἅ σε ἐρωτῶ, καὶ εὐθὺς ἐπινεύσῃς μοι ἐπιτρέψῃς τε γενέσθαι* (*κοινά*), *ὅτι σὲ ἐξορκίζω γαρ θαλα· βαυζαυ· θωρθωρ καθαυκαθ· ϊαθιν· να βορκακαρ· βορβα· καρβορβοχ· μω ζαυ ουζωνζ· ων· υαβιθ· Τυφῶν μέγιστε, ἄκουσόν μου, τοῦ δεῖνα, καὶ ποίησόν μοι τὸ δεῖνα πρᾶγμα· λέγω γάρ σου τὰ ἀληθινὰ ὀνόματα· Ἰωερβήθ· Ἰωπακερβήθ· Ἰωβολχοσήθ· οεν Τυφῶν· ασβαραβω· βιεαιση· με νερω· μαραμω· ταυηρ· χθενθωνιε· αλαμ βητωρ· μενκεχρα· σαυειωρ ρησειοδωτα· αβρησιοα· φωθηρ· θερθωναξ· νερδωμευ· αμωρης· μεεμε· ωιης· συσχιε· ανθωνιε· Φρᾶ· εἰσάκουσόν μου καὶ ποίησον τὸ δεῖνα πρᾶγμα.’* 

## PGM XII 270-350

*Δακτυλίδιον πρὸς ἐπίτευξιν καὶ χάριν καὶ νίκην. ἐνδόξους ποιεῖ καὶ μεγέλους καὶ θαυ-*
*μαστοὺς καὶ πλουσίους κατὰ δύναμιν ἢ τοιούτων φιλίας παρέχει. ἔστι σοι κατὰ πάντα δικαί-*
*ως καὶ εὐπροφόρως ἀδιάλειπτος ὁ κύκλος. ὄνομα περιέχει κάλλιστον. ἥλοις γλύφεται ἐπὶ λίθου ἡλιο-*
*τροπίου τὸν τρόπον τοῦτον· δράκων ἔστω ἐνκύμων, στεφάνου σχήματι οὐρὰν ἐν τῷ*
*στόματι ἔχων. ἔστω δὲ ἐντὸς τοῦ δράκοντος κάνθαρος ἀκτινωτὸς ἱερός. τὸ δὲ ὄνομα ἐκ*
*τῶν ὄπισθε μερῶν τοῦ λίθου γλύψεις ἱερογ<λ>υφικῶς, ὡς προφῆται λέγουσιν, καὶ τελέσας φόρει*
*καθαρείως. τούτου μεῖζον οὐδὲν ἔσχεν ὁ κόσμος· ἔχων γὰρ αὐτὸ μεθ' ἑαυτοῦ, ὃ ἂν παρά τινος αἰ-*
*[τ]ήσῃς, πάντως λήμψει. ἔτι δὲ βασιλέων ὀργὰς καὶ δεσποτῶν παύει. φορῶν αὐτό, ὃ ἄν τινι εἴπῃς,*
*πισθευθήσῃ ἐπίχαρίς τε πᾶσιν ἔσει. ἀνοίξει δὲ θύρας καὶ δεσμὰ δια<ρ>ρήξει καὶ λίθους ὁ προσά-*
*γων τὸν λίθον, τοῦτ' ἔστιν ψῆφον, καὶ λέγων τὸ ὄνομα τὸ ὑπογεγραμμένον.*
*ποιεῖ δὲ καὶ πρὸς δαιμονοπλήκτους· δὸς γὰρ φορεῖν αὐτό, καὶ παραυτὰ φεύξεται τὸ*
*δαιμόνιον. πρωΐας δὲ σταθεὶς κατέναντι τοῦ ἡλίου, κρατῶν τὸν λίθον τὸν εὔμετρον,*
*τὸν καλοποιόν, τὸν θεῖον, τὸν ἁγνόν, τὸν χρήσιμον, τὸν φειδωλόν, τὸν εὔσπλανχνον,*
*τὸν τὰς χρήσεις μεταδιδόντα, τὸν ἐμμελῆ, τὸν εὐπρεπῆ, <λέγε>· 'Θεὲ μέγιστε, ὃς ὑπερβάλλεις*
*τὴν πᾶσαν δύναμιν, ἐπικαλοῦμαί σε, τὸν Ἰάω, τὸν Σαβαώθ, τὸν Ἀδωναί, τὸν Εἰλωείν,*
*τὸν Σεβωείν, τὸν Ταλλαμ, τὸν Χαυναων Σαγηναμ Ἐλεμμεδωρ Χαψουθι, τὸν Σεττωρα*
*τὸν Σαφθα, τὸν Νουχιθα, τὸν Ἀβραάν, τὸν Ἰσάκ, τὸν Ἰακκωβι, τὸν Χαθαθιχ, τὸν Ζευπειν,*
*τὸν Νηφυγορ, Ἀσταφαῖον, τὸν Κατακερκνηφ, τὸν Κοντεον, τὸν Κατουτ, τὸν Κηριδευ,*
*τὸν Μαρμαριώθ, τὸν Λικύξαντα, τὸν Βεσσουμ, τὸν Συμεκοντευ, τὸν κατὰ τοῦ Θωιθ,*
*τὸν Μασκελλει, τὸν Μασκελλωθ, τὸν Φνου, τὸν Κενταβαωθ, τὸν Ὀρεοβαζαγρα, τὸν Ἱππό-*
*χθων, τὸν Ῥησίχθων, τὸν Πυριπηγανυξ Νυξιω, τὸν Ἀβρωροκορε, τὸν Κοδηρε, τὸν Μου-*
*ισδρω, τὸν ἄναξ, τὸν Θαθ, τὸν Φαθ, τὸν Χαθ, τὸν Ξευζην, τὸν Ζευζει, τὸν Σουσηνη, τὸν Ελα-*
*θαθ, τὸν Μελασιω, τὸν Κουκωρ, τὸν Νευσωω, τὸν Παχιω, τὸν Ξιφνω, τὸν Θεμελ, τὸν*
*Ναυθ, τὸν Βιοκληθ, τὸν Σεσσωρ, τὸν Χαμελ, τὸν Χασινευ, τὸν Ξωχω, τὸν Ἰαλλινωι, τὸν*
*Σεισενγφαραγγης, τὸν Μασιχιωρ, τὸν Ἰωταβαας, τὸν Χενουχι, τὸν Χααμ, τὸν Φαχιαραθ,*
*τὸν Νεεγωθαρα, τὸν Ἰαμ, τὸν Ζεωχ, τὸν Ἀκραμμαχαμαρει, τὸν Χερουβεί, τὸν Βαϊνχωωχ,*
*τὸν Εἰοφαλεον, τὸν Ἰχανωθ, τὸν Πωε, τὸν Ξεφιθώθ, τὸν Ξουθούθ, τὸν Θοωθιου, τὸν*

*Ξεριφωναρ, τὸν Ἐφιναρασωρ, τὸν Χανιζαρα, τὸν Ἀναμεγαρ, τὸν Ἰωο, τὸν Ξτουροριαμ,*
*τὸν Ἰωκ, τὸν Νιωρ, τὸν Χετταῖον, τὸν Ἐλουμαῖον, τὸν Νωιω, τὸν Δαμναμενεῦ,*
*τὸν Ἀξιωθωφ, τὸν Ψεθαιακκλωψ, τὸν Σισαγέτα, τὸν Νεοριφρωρ, τὸν Ἱπποκελεφοκλωψ,*
*τὸν Ζειναχα, τὸν Ἰαφεθανα, α′ ε′ η′ ι′ ο′ υ′ ω′. ἐπεκαλεσάμην σέ, θεὲ μέγιστε, καὶ διά σου*
*τὰ πάντα, ὅπως δῷς θείαν καὶ μεγίστην δύναμιν τούτῳ τῷ ξοάνῳ καὶ ποιήσῃς*
*αὐτὸ δύνασθαι καὶ ἰσχύειν κατὰ πάντων καὶ χωρεῖν ψυχὰς μετατρέπειν, πνεύματα*
*κινεῖν, ἀντιδίκους ὑποτάσσειν, φιλίας στηρίζειν, πόρους πάντας περιποιεῖν, ὀνεί-*
*ρους ἐπιφέρειν, χρησμοδοτεῖν, πάθη τε ψυχικὰ καὶ σωματικὰ καὶ ἀσθένειαν ἐμπο-*
*δισμόν τε ποιεῖν, φίλτρα ἐρωτικὰ πάντα ἀποτελεῖν. ναί, δέσποτα, δέσποτα, τέλει τελείαν*
*τελετήν.’ ὅταν δὲ τὸν λόγον τοῦτο[ν] τ[ε]λῇς, ἑκάστης ἡμέρας μὲν λέγε τρίς, ὥρᾳ γ′, ϛ′, θ′, τοῦτο*
*δὲ ἐπὶ ἡμέρας ιδ′, ἀρξάμενος ἀπὸ τῆς σελήνης γ′. πειρῶ δὲ εἶναι τὴν θεὸν ἤτε ἐν ταύρῳ*
*ἢ παρθένῳ ἢ σκορπίῳ ἢ ἐν ὑδρηχόῳ ἢ ἐν ἰχθύσι. τελοῦντος δέ σου καθ’ ἑκάστην*
*κλῆσιν ἐπίσπενδε τὰ προκείμενα καὶ μύρων παντοδαπῶν χωρὶς λιβάνου.*
*ἐκτελέσαντος δὲ τὴν τελετὴν, καθὼς προ<σ>ήκει, ἔχε ἀλέκτορα δίλοφον, ἤτοι*
*λευκὸν ἢ ξανθόν, ἀπέχου δὲ μέλανος, καὶ μετὰ τὴν τελετὴν ζῶντα τὸν ἀλέκτορα*
*ἀνάπτυζε καὶ ἔνβαλε τὸ ζῳδάριον ἔσω εἰς τὰ σπλάγχνα τοῦ ἀλεκτόρου*
*φιλοτιμούμενος, ὅπως μὴ διαρ<ρ>αγῇ τὰ ἔνκατα τοῦ ζῴου· ἔασον δὲ ἡμέραν α′,*
*νυκτὸς δὲ ὥρας θ′ ἆρον καὶ ἀπόθου ἐν τόπῳ ἱερῷ, καὶ χρῶ ὡς καλλίστῳ.*
*ὁσάκις ἂν βούλει ἐπιτάσσειν τῷ θεῷ, τὸν μέγιστον Οὔφωρα εἰπὼν ἐπίτασσε, καὶ*
*τελεῖ· ἔχεις τὴν τελετὴν τοῦ μεγίστου καὶ θείου ἐνεργήματος. ὁ δὲ Οὔφωρ*
*οὗτός ἐστιν, ᾧ Οὐρβικὸς ἐχρᾶτο. τὸ ἱερὸν Οὔφωρ, τὸ ἀληθές, διὰ πάσης συντο-*
*μίας ἀληθῶς ἀναγέγραπται, δι’ οὗ ζωπυρεῖται πάντα πλάσματα καὶ γλυφαὶ*
*καὶ ξόανα· τοῦτο γάρ ἐστ[ι]ν τὸ ἀληθές, τὰ δὲ ἄλλα, ὅσα φέρεται διὰ μακρῶν, ἐψευδη-*
*γόρηται μῆκος εἰκαῖον περιέχοντα. ὃ καὶ ἔχε ἐν ἀποκρύφῳ ὡς*
*μεγαλομυστήριον. κρύβε, κρύβε.*
*ἔστιν δὲ ἀρχή·*
*‘Ἠνοίγησαν αἱ πύλαι τοῦ οὐρανοῦ, ἠνοίγησαν αἱ πύλαι τῆς γῆς.*
*ἠνοίγη <ἡ> ὅδευσις τῆς θαλάσσης, ἠνοίγη ἡ ὅδευσις τῶν ποταμῶν,*
*ἠκούσθη μου τὸ πνεῦμα ὑπὸ πάντων θεῶν καὶ δαιμόνων,*
*ἠκούσθη μου τὸ πνεῦμα ὑπὸ πνεύματος οὐρανοῦ,*
*ἠκούσθη μου τὸ πνεῦμα ὑπὸ πνεύματος ἐπιγείου,*

*ἠκούσθη μου τὸ πνεῦμα ὑπὸ πνεύματος θαλασσίου,*
*ἠκούσθη μου τὸ πνεῦμα ὑπὸ πνεύματος ποταμίου.*
*δότε οὖν πνεῦμα τῷ ὑπ᾽ ἐμοῦ κατεσκευασμένῳ μυστ[ηρ]ίῳ,*
*θε<οί>, οὓς ὠνόμασα καὶ ἐπικέκλημαι.*
*δότε πνοὴν τῷ ὑπ᾽ ἐμοῦ κατεσκευασμένῳ μυστηρίῳ.᾽*
*κρύβε, κρύβε τὸ ἀληθινὸν Οὔφωρ ἐν συντομίᾳ*
*περιέχον τὴν ἀλήθειαν. ἐπίκλησις Οὔφωρος·*
*ηι ιεου μαρειθ*
*ηι ιεου μονθεαθι μονγιθ*
*ηι ιεου Χαρεὼθ μονκηβ*
*ηι ιεου σωχου σωρσωη*
*ηι ιεου τιωτιω Οὐιήρ,*
*ηι ιεου χαρωχσι Χαρμιώθ*
*ηι ιεου σαθιμωουεηου*
*ηι ιεου ραιραι Μουριραι*
*ηι ιεου Ἀμοῦν ηει Οὐσῖρι*
*ηι ιεου φιριμνουν*
*ηι ιεου ανμορχαθι Οὐήρ*
*ηι ιεου ανχερεφρενεψουφιριγχ*
*ηι ιεου ορχιμορωιπουγθ*
*ηι ιεου μαχψαχαθανθ*
*ηι ιεου μοροθ*

## Thessalus Tralliensis *De virtutibus herbarum*
## (e cod. Matrit. Bibl. Nat. 4631)

(1.) † *Ἁρποκρατίων Καίσαρι Αὐγούστῳ χαίρειν. Πολλῶν ἐπιχειρησάντων ἐν τῷ βίῳ, Σεβαστὲ Καῖσαρ, παραδοῦναι πολλὰ παράδοξα, μηδενὸς πρὸς τέλος ἀγαγεῖν τὰς ἐπαγγελίας δυνηθέντος διὰ τὸν <ἀπὸ> τῆς εἱμαρμένης ταῖς διανοίαις αὐτῶν ἐπικείμενον ζόφον, μόνος δοκῶ τῶν ἀπ᾽ αἰῶνος ἀνθρώπων πεποιηκέναι τι παράδοξον <καὶ ὀλίγοις γνωστόν>.* (2.) *ἐπιχειρήσας γὰρ πράγμασιν, ἅπερ θνητῆς μέτρα φύσεως ὑπερβαίνει, τούτοις γε μετὰ πολλῶν βασάνων καὶ κινδύνων τὸ καθῆκον τέλος ἐπέθηκα.* (3.) *ἀσκήσας <γὰρ> γραμματικὴν ἐπιστήμην ἐν τοῖς τῆς Ἀσίας κλίμασι καὶ πάντων τῶν ἐκεῖ βελτίων γενόμενος διέγνων ἕως τινὸς τῆς ἐπιστήμης ἀπολαύειν.* (4.) *καὶ πλεύσας ἐπὶ τὴν περισπούδαστον Ἀλεξάνδρειαν μετὰ συχνοῦ ἀργυρίου τοῖς ἐντελεστάτοις τῶν φιλολόγων † παρώδευον καὶ φιλοπονίας ἕνεκα καὶ συνέσεως ὑπὸ πάντων ἐπαινούμενος.* (5.) *ἐφοίτων δὲ συνεχῶς καὶ εἰς τὰς τῶν διαλεκτικῶν ἰατρῶν διατριβάς· ἤρων γὰρ περισσῶς ταύτης τῆς ἐπιστήμης.* (6.) *ἐπεὶ δὲ καιρὸς ἦν εἰς οἶκον ἀπιέναι, κατὰ τρόπον ἤδη μοι καὶ τῆς ἰατρικῆς προιούσης, περιῄειν τὰς βιβλιοθήκας ἐκζητῶν <τὴν ἀναγκαίαν ὕλην>· εὑρὼν δὲ βίβλον τινὰ <τοῦ> Νεχεψὼ κδ᾽ θεραπείας ὅλου τοῦ σώματος καὶ παντὸς πάθους κατὰ ζῳδι<ακ>ὸν περιέχουσαν διὰ λίθων τε καὶ βοτανῶν τὰ τῆς ἐπαγγελίας παράδοξα ἐξεπληττόμην. ἦν δέ, ὡς ἔοικε, βασιλικῆς μωρίας κενὸς τῦφος·* (7.) *σκευάσας γὰρ τὸν ὑπ᾽ αὐτοῦ θαυμαζόμενον τροχίσκον ἡλιακὸν καὶ τὰς λοιπὰς δυνάμεις ἐν πάσαις τῶν παθῶν θεραπείαις ἠστόχησα.* (8.) *θανάτου δὲ τραχυτέραν ὑπολαβὼν εἶναι τὴν πλάνην ὑπὸ τῆς λύπης ἐδαπανώμην· καὶ γὰρ προπετέστερον τῇ γραφῇ πεπιστευκὼς ἔγραψα περὶ τῆς ἐνεργείας αὐτῶν καὶ τοῖς γονεῦσιν ὡς ἤδη πειράσας καὶ ὑποστρέφειν ἐπηγγελλόμην.* (9.)

ἐν μὲν οὖν τῇ Ἀλεξανδρείᾳ μένειν οὐχ οἷόν τε ἦν διὰ τὸν τῶν ὁμοτέχνων γέλωτα καὶ γὰρ ἰδίως τὰ καλὰ φθονεῖται. (10.) εἰς οἶκον δὲ ἀπιέναι πάλιν προθυμίαν οὐκ εἶχον μικρότερος τῶν ἐπαγγελιῶν εὑρημένος, περιῄειν δὲ τὴν Αἴγυπτον οἴστρῳ τῆς ψυχῆς ἐλαστρούμενος καὶ ζητῶν τι <τῆς> προπετοῦς ἐπαγγελίας ἐργάσασθαι ἢ τούτου μὴ τυχὼν θανάτῳ λοιπὸν ἀφιέναι τὸν βίον. (11.) ἀεὶ δέ μου τῆς ψυχῆς † προμαντευομένης θεοῖς ὁμιλῆσαι, συνεχῶς εἰς οὐρανὸν τὰς χεῖρας ἐκτείνων τοὺς θεοὺς ἐλιτάνευον δι᾽ ὀνείρου φαντασίας ἢ διὰ πνεύματος θείου χαρίσασθαί μοί τι τοιοῦτο, δι᾽ οὗ γαυριάσας ἱλαρὸς εἰς τὴν Ἀλεξάνδρειαν καὶ τὴν πατρίδα κατελθεῖν δυνηθῶ. (12.) Γενόμενος οὖν ἐν Διὸς πόλει—ἀρχαιοτάτην <λέγω> τῆς Αἰγύπτου πόλιν καὶ πολλὰ ἱερὰ ἔχουσαν—διέτριβον αὐτόθι· ἦσαν γὰρ <ἐκεῖ> καὶ ἀρχιερεῖς φιλόλογοι καὶ <γέροντες> ποικίλοις κεκοσμημένοι μαθήμασιν. (13.) προβαίνοντος δὲ τοῦ χρόνου καὶ τῆς πρὸς αὐτούς μοι φιλίας μᾶλλον αὐξανομένης, ἐπυνθανόμην, εἴ τι τῆς μαγικῆς ἐνεργείας σῴζεται. καὶ τῶν μὲν πλειόνων ἐπαγγελίας ὁμοίας τῇ προπετείᾳ μου <ἐπι>φερόντων κατέγνων· (14.) ἑνὸς δέ τινος διὰ τὸ <οὐ> σοβαρὸν τῶν ἠθῶν καὶ τὸ τῆς ἡλικίας μέτρον πιστευθῆναι δυναμένου οὐκ ἀνεχαιτίσθην τῆς φιλίας. ἐπηγγείλατο δὲ οὗτος αὐτοπτικὴν ἔχειν λεκάνης ἐνέργειαν. (15.) παρεκάλεσα οὖν αὐτὸν ἐν τοῖς ἐρημοτάτοις τόποις τῆς πόλεως σὺν ἐμοὶ περιπατῆσαι μηδὲν ὧν ἔχρῃζον ἐκφήνας. (16.) ἀπελθόντων οὖν ἡμῶν εἴς τι ἄλσος ἡσυχίᾳ βαθυτάτῃ περιεχόμενον, αἰφνίδιος περιπεσὼν ἐπὶ στόμα καὶ κλαίων τῶν ποδῶν εἰχόμην τοῦ ἀρχιερέως. (17.) ἐκπλαγέντος δὲ αὐτοῦ διὰ τὸ ἀπροσδόκητον τῆς θέας καὶ πυνθανομένου, τίνος ἕνεκε τοῦτο ποιήσαιμι, ἔφασκον ἐν αὐτῷ τὴν ἐξουσίαν εἶναι τῆς ἐμῆς ψυχῆς· ἔχειν γάρ με ἀνάγκην θεῷ ὁμιλῆσαι· ἧς ἐπιθυμίας ἂν ἁμάρτω, μέλλω ἀποτάσσεσθαι τῷ βίῳ. (18.) ἀναστήσας δέ με ἀπὸ τῆς γῆς καὶ παρηγορήσας προσηνεστάτοις λόγοις, ἀσμένως ταῦτα ποιεῖν ἐπηγγέλλετο καὶ ἐκέλευσέν <με> ἁγνεύειν ἡμέραις τρισίν. (19.) διαχυθείσης δέ μου τῆς ψυχῆς ἐπὶ ταῖς ἐπαγγελίαις τοῦ ἀρχιερέως, ἠσπασάμην αὐτοῦ τὴν δεξιὰν καὶ ηὐχαρίστουν κρουνηδόν μοι τῶν δακρύων φερομένων· φυσικῶς γὰρ ἀπροσδόκητος χαρὰ πλείονα λύπης ἐκκαλεῖται δάκρυα. (20.) ἐπανελθόντες δὲ ἐκ τοῦ ἄλσους ἐπὶ τὴν ἁγνείαν ἐγιγνόμεθα ἐμοὶ τῶν ἡμερῶν διὰ τὴν προσδοκίαν <ὡς> ἐνιαυτῶν ἀπαριθμουμένων. (21.) ἐπιστάσης δὲ τῆς τρίτης ἡμέρας ὑπὸ τὸν ὄρθρον πορευθεὶς ἠσπασάμην τὸν ἀρχιερέα <ταπεινῶς>. Εὐτρέπιστο δὲ αὐτῷ οἶκος καθαρὸς καὶ τὰ λοιπὰ τὰ πρὸς τὴν ἐπίσκεψιν· ἐγὼ δὲ κατὰ προμήθειαν τῆς ψυχῆς εἶχον, ἀγνοοῦντος τοῦ ἀρχιερέως, χάρτην καὶ μέλαν ἐπὶ <τῷ> σημειώσασθαι τῶν λεγομένων, <ἃ> ἐὰν δεήσῃ. (22.) ἀνακρίνοντος δέ με τοῦ ἀρχιερέως, πότερον ψυχῇ νεκροῦ τινος ἢ θεῷ ὁμιλῆσαι βουλοίμην, ἔφην Ἀσκληπιῷ· εἶναι δὲ τὸ τέλειον τῆς χάριτος, εἰ μόνῳ μοι πρὸς μόνον ὁμιλεῖν ἐπιτρέψειεν. (23.) ὅμως οὐχ ἡδέως μέν (τοῦτο γὰρ ἐνέφαινον οἱ τῆς ὄψεως χαρακτῆρες), πλὴν ἐπηγγείλατο. καὶ ἐγκλείσας με εἰς τὸν οἶκον καὶ καθῖσαι κελεύσας ἄντικρυς τοῦ θρόνου, εἰς ὃν ἔμελλεν ὁ θεὸς καθέζεσθαι, προαγαγὼν διὰ τῶν ἀπορρήτων ὀνομάτων τὸν θεὸν καὶ ἐξελθὼν ἔκλεισε τὴν θύραν. (24.) καθεζομένου δέ μου καὶ ἐκλυομένου τοῦ σώματος καὶ τῆς ψυχῆς διὰ τὸ παράδοξον τῆς θέας (οὔτε γὰρ τοὺς τῆς ὄψεως χαρακτῆρας οὔτε τὴν τοῦ περικειμένου κόσμου καλλονὴν ἀνθρώπου λόγος διασαφῆσαι δύναιτ᾽ <ἄν>)· ἀνατείνας οὖν τὴν δεξιὰν ἤρξατο λέγειν· (25.) ὦ μακάριε παρὰ θεῷ τυχὼν τιμῆς Θεσσαλέ, προϊόντος δὲ τοῦ χρόνου καὶ γνωσθέντων τῶν σῶν ἐπιτευγμάτων ὡς θεὸν ἄνθρωποί σε θρησκεύ<σ>ουσιν. ἐπερώτα οὖν <ἀδεῶς> περὶ ὧν θέλεις ἀσμένως ἐμοῦ πάντα παρέξοντος. (26.) ἐγὼ δὲ μόλις μὲν ἤκουσα· —κατεπεπλήγμην γὰρ καὶ ἐπεπληρώμην τὸν νοῦν εἰς τὴν τοῦ θεοῦ βλέπων μορφήν· —ὅμως <δ᾽> οὖν ἐπυνθανόμην, δι᾽ ἣν αἰτίαν ἐπὶ ταῖς τοῦ Νεχεψὼ δυνάμεσιν ἠστόχησα. πρὸς ὃ ὁ θεὸς εἶπεν· (27.) ὁ βασιλεὺς

*Νεχεψώ, ἀνὴρ φρενηρέστατος καὶ πάσαις κεκοσμημένος ἀρεταῖς παρὰ μὲν θείας φωνῆς οὐδὲν ὧν σὺ μαθεῖν ἐπιζητεῖς εὐτύχησε· φύσει δὲ χρησάμενος ἀγαθῇ συμπαθείας λίθων καὶ βοτανῶν ἐπενόησε, τοὺς δὲ καιροὺς καὶ τοὺς τόπους ἐν οἷς δεῖ τὰς βοτάνας λαμβάνειν οὐκ ἔγνω.* (28.) *ὥρια γὰρ πάντα τῇ τῶν ἄστρων ἀπορροίᾳ αὔξεται καὶ μειοῦται· τό τε θεῖον ἐκεῖνο πνεῦμα λεπτομερέστατον ὑπάρχον διὰ πάσης οὐσίας διήκει καὶ μάλιστα κατ' ἐκείνους τοὺς τόπους, καθ' οὓς αἱ τῶν ἄστρων ἀπόρροιαι γίνονται {τῆς} ἐπὶ τῆς κοσμικῆς καταβολῆς. ἐξ ἑνὸς δὲ <τοῦ>το πρὸς πίστιν τῶν λοιπῶν παραστήσω.* (29.) *Βοτάνη γὰρ ἔστιν ἡ λεγομένη κώνειον· αὕτη ἐκ τῆς τοῦ Ἄρεος ἀπορροίας δοκεῖ γεγενῆσθαι· ἔτυχε δὲ ἐπὶ τῆς κοσμικῆς καταβολῆς ἐν Σκορπίῳ βάλλων τὰς ἀκτῖνας· <ἔβαλε γοῦν τὸ κώνειον ἐν τοῖς τῆς Ἰταλίας μέρεσιν·> σκορπιανὸν γὰρ {καὶ} ἐκεῖνο τὸ τῆς Ἰταλίας κλίμα.* (30.) *αὕτη οὖν ἡ βοτάνη πλέον τῆς θείας ἀπορροίας ἑλκύσασα, εἴτε ἀπὸ τετραπόδου ἢ ἀνθρώπου βρωθῇ, παραχρῆμα θανατοῖ.* (31.) *τινὲς δὲ καὶ κατὰ ἄγνοιαν τῆς βοτάνης ἐν ταῖς ἐρημίαις κατακλιθέντες παρ' αὐτὴν καὶ κοιμηθέντες ἐν τῷ ῥινουλκεῖν ἐν ταῖς ἀναπνοαῖς αὐτῆς τὴν ἐνέργειαν ἐτελεύτησαν.* (32.) *ὁμοίως καὶ ἡ Κρήτη <......> τὴν ἀκτινοβολίαν.* (33.) *τὴν αὐτὴν οὖν βοτάνην εἰς Κρήτην τὸ κώνειον ἐσθίουσιν ἄνθρωποι{ς} οὖσαν τῶν πάντων λαχάνων ἡδίονα.* (34.) *τοσοῦτον αἱ τῶν θεῶν ἀπόρροιαι παρὰ τοὺς τόπους καὶ καιροὺς δύνανται.* (35.) *Πρόδηλον οὖν ὅτι πάντων τῶν ἀστέρων βασιλεύς ἐστιν ὁ Ἥλιος· οὗτος δὲ ἐν Κριῷ γενόμενος ὑψοῦται καί τινα μεγίστην δύναμιν ἐν τούτῳ λαμβάνει τῷ ζῳδίῳ.* (36.) *αἱ οὖν βοτάναι τότε δυναμικώταται, οὐ μόνον διὰ τὸν Ἥλιον, ἀλλὰ καὶ διότι τὸ ζῴδιον πᾶσι τοῖς τὰ πάθη ἐμποιοῦσι θεοῖ ἐπίκοινον·* (37.) *Ἡλίου μὲν γάρ ἐστιν, καθὼς προεῖπον, ὕψωμα, Κρόνου δὲ ταπείνωμα, Ἄρεος δὲ οἶκος, Διὸς δὲ τρίγωνον. τοσαύτας ἔχει τὸ προειρημένον ζῴδιον δυνάμεις.* (38.) *ἐν τούτῳ οὖν ὄντος τοῦ Ἡλίου τὰς ῥηθησομένας βοτάνας λαμβάνων χύλιζε μὴ ἑψῶν· ὑπὸ γὰρ τοῦ πυρὸς ἡ ποιότης ἀλλοιοῦται. καὶ ταχέως τὸν χυλὸν ἔκθλιβε καὶ εἰς λεκάνην ἢ ξέστην τὸν χυλὸν βαλὼν καὶ μετὰ μέλιτος μίγε.* (39.) *τοῦτο δὲ ποιήσας βάλλε εἰς ἀγγεῖα ὑέλινα καὶ τίθει ἐπὶ ἡμέρας* [...]..*{εἰ δὲ ὠμοὺς θέλεις χυλούς, ἔκζεσον}. μετὰ δὲ ταῦτα σκεύαζε καθ' ἑκάστην δύναμιν.*